Mscr. Dresd. App. 2712, B 21, 78.

Ἄνερ Εὐπομπὲ ἐμῶν πραγμάτων! Genève 27 Septembre

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπών, ἵν᾽ Ἅιδης χωρὶς ᾤκισται θεῶν.
ἀνέπνευσ᾽ ἐπὶ μικρὸν, ὡς ὁ τοῦ Διὸς ὑπηρέτης ὁ Ἀγγελοφόρος Ἑρμῆς
Ὃς πολλά τ᾽ ὄρη σκιόεντα καὶ αὐλῶνας κελαδεινοὺς
Καὶ πεδί᾽ ἀνθεμόεντα ἐλαύνει σπουδῇ ἴωπερ,

ἀναπαῦσαι τὰς πτέρυγας, ἐνέθηκε ταῖς χερσί μου τὸ περιπόθητον Γράμμα Σου. ἀνέγνων καὶ ἐπανέγνων, καὶ ἤδε κόρος προσῆν μοι τῆς ἀναγνώσεως, ὅτι ἡ φιλία κόρον οὐκ οἶδεν, ἥπερ φησὶν ὁ τῶν Λυρικῶν Κορυφαῖος, Πίνδαρος. Ὅσην μὲν παραμυθίαν εἰς ἦτορ ἐνέχεεν ἡ πρὸς ἐμὲ εἰλικρινὴς σχέσις Σου! ὅσης δὲ θυμηδίας ἐνεπλήσθην! ὡς δ᾽ ὑπερνέφελος ἐφερόμην εἰς μετεώρῳ, καὶ ἤδ᾽ ἐπιψαύειν γαίης ἐδόκουν τηλικοῦτον κατέχων θησαυρόν. ἀλλὰ τί? ἐπιλείποιμ᾽ ἄν, ἴσθι, ἡμέρα διηγούμενον, οἵων καὶ ὅσων πραγμάτων ἡ Σὴ ἐπιστολὴ παραίτιός μοι ἐγένετο, ὅμως ἀλλ᾽ ἤδ᾽ οἶδα ταῦτα Σοι περιγράψασθαι ὧν ἡ ψυχὴ ἐπαισθάνεται μᾶλλον ἢ ἡ γλῶσσα διαρθρῶσαι οἷά τ᾽ ἐστι καὶ ὁ κάλαμος ἐγχαράξασθαι. τοῦτο δ᾽ οἶδα, ὅτι

While in our age we differ, you in heart
Thus stands an aged elm in ivy bound
Thus youthful ivy clasps an elm around.

Τὰ κατ᾽ ἐμὲ, εἰ θέλεις μαθεῖν, ἐλεεινά φεῦ! ὅλως. ὁ πούς με κατέχει, ὡς οἱ σιδηροῖ δεσμοί, οἷς ὁ Προμηθεὺς κατείχετο, εἰ δὲ τὸ ἐκείνου ἧπαρ σαρκοφάγῳ οἰωνῷ ἕλωρ ἦν καὶ κύρμα, τοὐμὸν τῇ θλίψει καταβιβρώσκεται. Ἰού, ἰού! ὦ πούς οἷα μ᾽ ἐργάζῃ κακά! πάλιν ἀναβοᾶν καὶ στενάζειν ἐπέρχεταί μοι. Ἰδοὺ ἐγὼ ἐστερημένος τῶν, ὧν ἱμειρόμην! πῶς ἂν ποδαλγοῦντος μὴ ἡ παθητικὴ φωνὴ τῆς μεγαλοπρεποῦς Φαίδρας ἐμβάλοι εἰς τὰ ὦτα? πῶς δ᾽ ἂν τὸ τῆς Ἀρισίας κάλλος καταστράψαι μου τὰς ὄψεις? πῶς δὲ ....? ἀλλὰ θορυβοῦμαι, ταράττομαι, ὁ κάλαμος φεύγει τοὺς δακτύλους μου. Χαῖρε.

Ἀπόδος τῇ Νέᾳ Κορίννῃ τὴν τῆς εὐγνώμονος διαθέσεώς μου θυσίαν, τῷ δὲ φίλῳ Αὐγούστῳ τοὺς θερμοὺς ἀσπασμούς μου, τέλος τῇ κυρίᾳ Ἀλβερτίνᾳ τὸ „Χαῖρε, Κόρη, καλλίστη καὶ χαριεστάτη.

SLUB Wir führen Wissen. Philipps Universität Marburg http://digital.slub-dresden.de/id/APP2712-Bd-6/281 Kompetenzzentrum für elektronische Erschließungs- und Publikationsverfahren in den Geisteswissenschaften gefördert von der Deutschen Forschungsgemeinschaft DFG